ἀεὶ κατὰ τὸ βέλτιστον· οἷον τὸν ὀργίλον καὶ τὸν μανικὸν ἁ-
πλοῦν· καὶ τὸν αὐθάδη μεγαλοπρεπῆ καὶ σεμνόν·
καὶ τοὺς ἐν ταῖς ὑπερβολαῖς ὡς ἐν ταῖς ἀρεταῖς ὄντας·
οἷον τὸν θρασὺν ἀνδρεῖον· καὶ τὸν ἄσωτον ἐλευθέριον·
δόξει τε γὰρ τοῖς πολλοῖς· καὶ ἅμα παραλογιστικὸν ἐκ τῆς
αἰτίας· εἰ γὰρ οὗ μὴ ἀνάγκη κινδυνευτικός, πολλῷ μᾶλ-
λον ἂν δόξειεν ὅπου καλόν· καὶ εἰ προετικὸς τοῖς
τυχοῦσι, καὶ τοῖς φίλοις· ὑπερβολὴ γὰρ ἀρετῆς τὸ πάντας
εὖ ποιεῖν· σκοπεῖν δὲ καὶ παρ' οἷς ὁ ἔπαινος· ὥσπερ
καὶ ὁ Σωκράτης ἔλεγεν· οὐ χαλεπὸν Ἀθηναίους ἐν Ἀθη-
ναίοις ἐπαινεῖν· δεῖ δὲ τὸ παρ' ἑκάστοις τίμιον ὂν λέγειν
ὡς ὑπάρχον· οἷον ἐν Σκύθαις ἢ Λάκωσιν ἢ φιλοσόφοις·
καὶ ὅλως δὲ τὸ τίμιον ἄγειν εἰς τὸ καλόν· ἐπείπερ δοκεῖ
γειτνιᾶν· καὶ ὅσα κατὰ τὸ προσῆκον· οἷον εἰ ἄξια
τῶν προγόνων καὶ τῶν προϋπηργμένων· εὐδαιμονικὸν
γὰρ καὶ καλόν· καὶ τὸ προσεπικτᾶσθαι τιμήν· καὶ εἰ παρὰ
τὸ προσῆκον ἐπὶ τὸ βέλτιον καὶ τὸ κάλλιον· οἷον εἰ εὐτυχῶν
μὲν μέτριος· ἀτυχῶν δὲ μεγαλόψυχος· ἢ μείζων γινόμενος
βελτίων καὶ καταλλακτικώτερος· τοιοῦτον δὲ τὸ τοῦ Ἰ-
φικράτους· ἐξ οἵων ἐς οἷα· καὶ τὸ τοῦ ὀλυμπιονίκου· ἐξ οἵων ἐς οἷα.
πρόσθε μὲν ἀμφ' ὤμοισιν ἔχων τραχεῖαν· καὶ τὸ τοῦ Σιμω-
νίδου· ἣ πατρός τε καὶ ἀνδρὸς ἀδελφῶν τ' οὖσα τυράννων·
ἐπεὶ δ' ἐκ τῶν πράξεων ὁ ἔπαινος· ἴδιον δὲ τοῦ σπουδαίου de gñe demonstrativo
τὸ κατὰ προαίρεσιν, πειρατέον δεικνύναι πράττοντα
κατὰ προαίρεσιν· χρήσιμον δὲ τὸ πολλάκις φαίνεσθαι
πεπραχότα· διὸ καὶ τὰ συμπτώματα καὶ τὰ ἀπὸ τύ-
χης ὡς ἐν προαιρέσει ληπτέον· ἂν γὰρ πολλὰ καὶ ὅμοια
προφέρηται, σημεῖον ἀρετῆς εἶναι δόξει καὶ προαιρέσεως·
ἔστι δ' ἔπαινος, λόγος ἐμφανίζων μέγεθος ἀρετῆς· δεῖ

http://digital.slub-dresden.de/ppn346251060/40